[† Πρό]σεισι μ(ὲν) τῇ σεβασμιωτ(ά)τ(η) μονῇ τοῦ ἐν ἀποστόλ(οις) ἠγαπημ(έν)ου Ἰω(άνν)ου τοῦ Θεολόγου, τῇ κατ(ὰ) τὴν Πάτμον διακειμ(έν)η, |2 προστάγματα τ(ῶν) ἀοιδίμων βασιλέ(ων) καὶ τ(ῆς) περιποθ(ή)τ(ου) θεί(ας) τ(ῆς) βασιλ(είας) μου, τ(ῆς) ἀοιδίμου δεσποίν(ης) κυρ(ᾶς) Εἰρήν(ης) καὶ ἐν μακαρία | 3 τῇ λήξει γενομ(ένης) Εὐγενί(ας) μοναχ(ῆς), ἀλλὰ δὴ καὶ τοῦ περιποθ(ή)τ(ου) μου αὐτοκράτ(ο)ρ(ος), ἐπικυροῦντα τὴν τ(ῶν) δύο σανδαλί(ων) τ(ῆς) τοιαύτ(ης) | 4 μον(ῆς) παντελῆ ἐξκουσσεί(αν), ἀποχαριζομ(ένου (δὲ) τοῦ ὁρισμοῦ τοῦ κρατίστου τῇ βασιλ(εία) μου αὐτοκράτ(ο)ρ(ος) καὶ ἑτ(έ)ρ(ων) δύο σανδαλίων ἐξκουσσεί(αν) | 5 κατὰ τ(ὴν) ἐπακολουθήσασ(αν) τ(οῖς) προτ(έ)ρ(οις) δυσὶ σανδαλί(οις) ἐν πάσ(αις) τ(αῖς) κατ(ὰ) τ(ὴν) Ἀνατολ(ὴν) παραιγιαλί(οις) μέρεσιν ἐξκουσσεί(αν) τὲ καὶ δεφένδευσ(ιν)· |6 [ἐπεὶ δὲ παρεκλήτευσε] τ(ὴν) βασ(ι)λ(είαν) μου ὁ τ(ῆς) τοιαύτ(ης) μον(ῆς) ἡγουμενεύων ἱερομόναχο(ς) καὶ ὁσιώτατο(ς) ἐν μοναχ(οῖς) κῦρ Γερμανός, |7 ἵνα καὶ δι' ὁρισμοῦ τ(ῆς) βασ(ι)λ(είας) μου, ἀκολούθ(ως) τῷ γεγονότι ὁρισμῷ τοῦ περιποθ(ή)τ(ου) μου αὐτοκράτ(ο)ρ(ος), ἐπικυρωθῇ ἡ τ(ῶν) τοιού τ(ων) |8 [τε]σσάρων σανδαλίων ἐξκουσσεία, ἡ βασ(ι)λ(εία) μου, τ(ὴν) παράκλησ(ιν) αὐτοῦ μὴ ἀπαξιώσασα, τ(ὸν) παρόντα αὐτ(ῆς) | 9 ὁρισμ(ὸν) ἐπιχορηγεῖ τούτῳ, δι' οὗ καὶ διορίζεται τὸ στέργον καὶ ἐνεργ(ὸν) καὶ ἀπερίτρεπτον ἔχειν τ(οὺς) προσόντ(ας) | 10 τῇ θειοτάτη ταύτη μονῇ ὁρισμ(οὺς) τ(ῶν) ἀοιδίμων βασιλέων καὶ τοῦ περι ποθήτου μου αὐτοκράτ(ο)ρ(ος), καὶ μὴ ἀναλαμβά|11νεσθ(αι) τινὰ ἐξ αὐτ(ῶν) τῶν τ(ὰς) σκάλ(ας) κρατούντων βασιλικ(ῶν) τὲ καὶ τ(ῆς) βασ(ι)λ(είας) μου κτημάτ(ων), ἀλλὰ δὴ καὶ τῶν προσωπ(ικῶν), | 12 τὸ τυχὸν χάριν σκαλιατ(ικοῦ) ἢ κομμερκίου ἢ ναυλοκαταρτιατ(ικοῦ), ἐμβλητικίου, ἐκβλητικίου, πρατ(ική)ου, κανισκίου, | 13 μετρητ(ική)ου, ἐκπροσωπ(ικίου), διαβατ(ι)κ(οῦ) ἢ ἑτ(έ)ρου τινὸ(ς) ζητήματο(ς) καὶ κεφαλαίου ὁποιουδήτινο(ς), νῦν τὲ ὄντο(ς) καὶ μετέπειτα |14 ἐπινοηθησομ(ένο)υ, τοῦ το λμήσοντο(ς) [παρασαλεῦσαί τι] τ(ῶν) εἰρημένων κεφαλαίων ὀφείλοντο(ς) εἰδέναι | 15 ὡς σφοδρ(ᾶς) πειραθήσεται τ(ῆς) ἀπὸ τ(ῆς) βασιλεί(ας) μου ἐπελεύσε(ως)· διὰ γὰρ τοῦτο ἐγεγόνει καὶ ὁ παρὼν |16 ὁρισμὸ(ς) τ(ῆς) βασιλεί(ας) μου εἰς ἀποτροπ(ὴν) πάντων τῶν βουληθησομ(ένων) παρασαλεῦσαι τ(ὰ) τῆς μονῆς |17 δικαιώμ(α)τ(α) ἐπὶ τ(οῖς) εἰρημ(ένοις) σανδαλί(οις) αὐτ(ῆς) †

μη(νὶ) Ἰουλ(ίῳ), (ἰνδικτιῶνος) ιβ' †